# Παρακλητικὸς Κανὼν τοῦ Οσίου Ἀθανασίου τοῦ Αθωνίτου




Εὐλογήσαντος τοῦ ἱερέως ἀρχόμεθα ἀναγινώσκοντες τον ΡΜΒ’ (142) Ψαλμόν.
Κύριε εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὴν δέησίν μου ἐν τῇ ἀληθείᾳ Σου, εἰσάκουσον μου ἐν τῇ δικαιοσύνῃ Σου καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετά τοῦ δούλου Σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν Σου, πᾶς ζῶν. Ὅτι κατεδίωξεν ὁ ἐχθρός τὴν ψυχήν μου, ἐταπείνωσεν εἰς γῆν τὴν ζωήν μου. Ἐκάθισέ με ἐν σκοτεινοῖς, ὡς νεκρούς αἰῶνος καὶ ἠκηδίασεν ἐπ’ ἐμέ τό πνεῦμα μου, ἐν ἐμοί ἐταράχθη ἡ καρδία μου. Ἐμνήσθην ἡμερῶν ἀρχαίων, ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις Σου, ἐν ποιήμασι τῶν χειρῶν Σου ἐμελέτων. Διεπέτασα πρός Σέ τάς χεῖρας μου, ἡ ψυχή μου ὡς γῆ ἄνυδρός Σοι. Ταχύ εἰσάκουσόν μου, Κύριε, ἐξέλιπε τό πνεῦμα μου. Μὴ ἀποστρέψῃς τό πρόσωπόν Σου ἀπ’ ἐμοῦ καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον. Ἀκουστὸν ποίησόν μου τό πρωΐ τό ἔλεός Σου, ὅτι ἐπὶ Σοί ἤλπισα. Γνώρισόν μοι, Κύριε, ὁδόν ἐν ᾗ πορεύσομαι, ὅτι πρός Σέ ἦρα τὴν ψυχήν μου. Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, Κύριε, πρός Σέ κατέφυγον, δίδαξόν με τοῦ ποιεῖν τό θέλημά Σου, ὅτι Σύ εἶ ὁ Θεός μου. Τό Πνεῦμα Σου τό ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ, ἕνεκεν τοῦ ὀνόματός Σου, Κύριε, ζήσεις με. Ἐν τῇ δικαιοσύνῃ Σου ἐξάξεις ἐκ θλίψεως τὴν ψυχήν μου καὶ ἐν τῷ ἐλέει Σου ἐξολοθρεύσεις τούς ἐχθρούς μου. Καί ἀπολεῖς πάντας τούς θλίβοντας τὴν ψυχήν μου, ὅτι ἐγώ δοῦλος Σου εἰμί.

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.
Στίχος α’. Ἐξομολογεῖσθε τῷ Κυρίῳ, καὶ ἐπικαλεῖσθε τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ.

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.
Στίχος β'. Πάντα τὰ ἔθνη ἐκύκλωσάν με, καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτοῦς.
Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.
Στίχος γ'. Παρὰ Κυρίου ἐγένετο αὕτη, καὶ ἔστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν.
Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

εἶτα τά Τροπάρια·

Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.
Ὡς τῶν ἐν Ἄθῳ χαρακτὴρ καὶ ἀκρότης, καὶ τῶν ἐν θλίψεσι θερμὸς ἀντιλήπτωρ, καὶ αὐτουργὸς θαυμάτων Ἀθανάσιε, φύλαττε τὰ τέκνα σου, ἀπὸ πάσης ἀνάγκης, ἴθυνον τὴν ποίμνην σου, πρὸς νομὰς ζωηφόρους· σὲ γὰρ φρουρὸν καὶ θεῖον ἀρωγόν, καὶ προμηθέα, κεκτήμεθα μέγιστον.

Δόξα. Καὶ νῦν. Θεοτοκίον.
Οὐ σιωπήσομέν ποτε Θεοτόκε, τὰς δυναστείας Σου λαλεῖν οἱ ἀνάξιοι· εἰμὴ γὰρ Σὺ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐῤῥύσατο ἐκ τοσούτων κινδύνων; Τίς δὲ διεφύλαξεν, ἕως νῦν ἐλευθέρους; Οὐκ ἀποστῶμεν Δέσποινα ἐκ Σοῦ· Σοὺς γὰρ δούλους σώζεις ἀεί, ἐκ παντοίων δεινῶν.

Ψαλμὸς Ν΄(50)
Ἐλέησόν με, ὁ Θεός, κατά τό μέγα ἔλεός Σου καί κατά τό πλῆθος τῶν οἰκτιρμῶν Σου, ἐξάλειψον τό ἀνόμημά μου. Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καί ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με. Ὅτι τήν ἀνομίαν μου ἐγώ γινώσκω καί ἡ ἁμαρτία μου ἐνώπιόν μου ἐστι διά παντός. Σοί μόνῳ ἥμαρτον καί τό πονηρόν ἐνώπιόν Σου ἐποίησα, ὅπως ἄν δικαιωθῇς ἐν τοῖς λόγοις Σου καί νικήσῃς ἐν τῷ κρίνεσθαί Σε. Ἰδοὺ γάρ ἐν ἀνομίαις συνελήφθην καί ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου. Ἰδοὺ γάρ ἀλήθειαν ἠγάπησας, τὰ ἄδηλα καί τὰ κρύφια τῆς σοφίας Σου ἐδήλωσάς μοι. Ῥαντιεῖς με ὑσσώπῳ καί καθαρισθήσομαι, πλυνεῖς με καί ὑπέρ χιόνα λευκανθήσομαι. Ἀκουτιεῖς μοι ἀγαλλίασιν καί εὐφροσύνην, ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα. Ἀπόστρεψον τό πρόσωπόν Σου ἀπὸ τῶν ἁμαρτιῶν μου καί πάσας τάς ἀνομίας μου ἐξάλειψον. Καρδίαν καθαράν κτίσον ἐν ἐμοί ὁ Θεός καί πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου. Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου Σου καί τό Πνεῦμα Σου τό Ἅγιον μὴ ἀντανέλῃς ἀπ' ἐμοῦ. Ἀπόδος μοι τήν ἀγαλλίασιν τοῦ σωτηρίου Σου καί πνεύματι ἡγεμονικῷ στήριξόν με. Διδάξω ἀνόμους τάς ὁδούς Σου καί ἀσεβεῖς ἐπὶ σέ ἐπιστρέψουσιν. Ῥῦσαι με ἐξ αἱμάτων ὁ Θεός, ὁ Θεός τῆς σωτηρίας μου,

ἀγαλλιάσεται ἡ γλῶσσα μου τήν δικαιοσύνην Σου. Κύριε, τὰ χείλη μου ἀνοίξεις καί τό στόμα μου ἀναγγελεῖ τήν αἴνεσίν Σου. Ὅτι, εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν, ὁλοκαυτώματα οὐκ εὐδοκήσεις. Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον, καρδίαν συντετριμμένην καί τεταπεινωμένην ὁ Θεός οὐκ ἐξουδενώσει. Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ Σου τήν Σιών καί οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ. Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καί ὁλοκαυτώματα. Τότε ἀνοίσουσιν ἐπὶ τό θυσιαστήριόν Σου μόσχους.

Εἶτα ὁ Κανών, οὗ ἡ ἀκροστιχίς:
Φύλαττε ἡμᾶς Ἀθανάσιε Πάτερ. Γερασίμου.

Ὠδὴ α΄. Ἦχος πλ. δ΄. Ὑγρὰν διοδεύσας.
Φωτὸς ἀθανάτου κατατρυφῶν, παθῶν τὴν ὀμίχλην, τὴν καλύψασαν χαλεπῶς, τῆς ψυχῆς τὰς κόρας θεοφόρε, φωτιστικαῖς σου πρεσβείαις διάλυσον.

Ὑφάπλωσον Πάτερ ὡς συμπαθής, τῆς σῆς προμηθείας, οἷα πτέρυγας τὴν ῥοπήν, καὶ σκέπασον πάντας τοὺς υἱούς σου, ἐκ τῶν βελῶν τοῦ δεινοῦ πολεμήτορος.

Λεόντων τὰς μύλας τῶν νοητῶν, τῶν ὠρυομένων, Ἀθανάσιε καθ’ ἡμῶν, κατάβαλε ῥάβδῳ τῶν εὐχῶν σου, καὶ ἐν γαλήνῃ ἡμᾶς περιφρούρησον.

Θεοτοκίον.
Ἁγνείας δοχεῖον περιφανές, ἁγνόν με συντήρει, καὶ αἰσθήσει τε καὶ ψυχῇ, καὶ κάθαρον πάσης με ἐννοίας, ἡδυπαθοῦς Θεοτόκε Πανάμωμε.

Ὠδὴ γ΄. Οὐρανίας ἁψῖδος.
Τῆς χαρᾶς τοῦ Κυρίου ὡς μετασχὼν Ὅσιε, λύπης καὶ δεινῆς ἀθυμίας, ἡμᾶς ἀπάλλαξον, καὶ χαροποίησον, τὰς τεθλιμμένας καρδίας, καὶ πένθος χαρμόσυνον, ἡμῖν πρυτάνευσον.

Τῶν δαιμόνων τὰ τόξα τὰ καθ’ ἡμῶν σύντριψον, καὶ τῶν πειρασμῶν τὰς νιφάδας, Πάτερ ἀφάνισον, καὶ πρὸς εὐθείας ὁδούς, τῶν προσταγμάτων τοῦ Λόγου, βαίνειν ἐνδυνάμωσον, ἡμᾶς ἑκάστοτε.

Ἐγυμνώθη ὁ τάλας τῆς τοῦ Θεοῦ χάριτος, καὶ τὸν ᾐμαγμένον χιτῶνα, παθῶν ἐνδέδυμαι· σὺ οὖν διάῤῥηξον, τὸν τῆς ὀδύνης μου σάκκον, καὶ τῇ μετανοίᾳ με, Πάτερ ἀμφίασον.

Θεοτοκίον.
Ἡλιόμορφε Κόρη ἡ τὸν Θεὸν τέξασα, ὕλῃ ἑνωθέντα βροτείᾳ, ὑπὲρ κατάληψιν,

Αὐτὸν δυσώπησον, υἱοθετῆσαί με αὖθις, ἐκ δουλείας ἥκοντα, τοῦ κοσμοκράτορος.

Διάσωσον, ἀπὸ κινδύνων τοὺς δούλους σου θεοφόρε, ὅτι πάντες τῇ ἀντιλήψει σου καταφεύγομεν· μὴ οὖν ἡμᾶς ἀποῤῥίψῃς, τῆς σῆς εὐνοίας.

Ἐπίβλεψον, ἐν εὐμενείᾳ Πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

Αἴτησις καὶ τὸ Κάθισμα.
Ἦχος β´. Πρεσβεία θερμή.
Προστάτης ἡμῶν καὶ φύλαξ ἀπροσμάχητος, καὶ πύργος στεῤῥός, καὶ κυβερνήτης ἄριστος, ὑπάρχεις Ἀθανάσιε, ὡς θεράπων Χριστοῦ γνησιώτατος· διὸ ἐκ βάθους βοῶμέν σοι ψυχῆς· ὑπὲρ ἡμῶν ἐκτενῶς Πάτερ ἱκέτευε.

Ὠδὴ δ´. Εἰσακήκοα Κύριε.
Μετανοίας ὑπάνοιξον, τοῖς πεπλανημένοις Πάτερ τὴν εἴσοδον, καὶ τῷ Λόγῳ καθοδήγησον, τοὺς ἐξ ἀγνωσίας ἐπιστρέφοντας.

Ἀσθενοῦσιν ἀνάῤῥωσις, καὶ συντεντριμμένοις Πάτερ ἀνόρθωσις, καὶ τοῖς πάσχουσιν ἀνάψυξις, γένοιτο Κυρίῳ ἡ πρεσβεία σου.

Συμπαθείᾳ κοσμούμενος, εὐμενῶς ἐπίβλεψον Ἀθανάσιε, ἐπ’ ἐμὲ καὶ κατοικτείρησον, τὴν ταπεινωθεῖσάν μου διάνοιαν.

Θεοτοκίον.
Ἀπειράνδρως κυήσασα, τὸν Δημιουργὸν τῶν ὅλων καὶ Πρύτανιν, πειρασμῶν με Κόρη λύτρωσαι, καὶ τῶν συνθλιβουσῶν με προλήψεων.

Ὠδὴ ε´. Φώτισον ἡμᾶς.
Θραῦσον τὴν ὀρφύν, τοῦ δολίου πολεμήτορος, καὶ ἀνύψωσον τὸ κέρας τῶν πιστῶν, Ἀθανάσιε Ὁσίων ἀκροθίνιον.

Ἄλυπον ζωήν, καὶ εἰρήνην ἀστασίαστον, τοῖς ἱκέταις σου πρυτάνευσον σοφέ, καὶ πταισμάτων ἡμῖν δώρησαι τὴν ἄφεσιν.

Νόμοις ἱεροῖς, τὴν ψυχήν μου θρέψον Ὅσιε, τὴν ἐν πράξεσι λιμώττουσαν δεινῶς· σὺ γὰρ πέλεις νομοθέτης ἡμῶν ἄριστος.

Θεοτοκίον.

Ἅγιος Ναός, τοῦ τὰ πάντα ἁγιάζοντος, Παναγία χρηματίσασα λαμπρῶς, ἐναγῶν με λογισμῶν ἀπελευθέρωσον.

Ὠδὴ στ΄. Τὴν δέησιν ἐκχεῶ.
Σωμάτων σε, καὶ ψυχῶν ἀκέστορα, καὶ πνευμάτων ἀκαθάρτων διώκτην, ὁ σὲ δοξάσας ἀνέδειξε Πάτερ· ὅθεν ἡμᾶς θεοδέκτοις πρεσβείαις σου, σωματικῶν καὶ ψυχικῶν, ἀλγηδόνων ταχέως ἀπάλλαξον.

Ἱλέῳ σου, οὐρανόθεν ὄμματι, Ἀθανάσιε Πατέρων ἀκρότης, ἐπὶ τὰ τέκνα σου βλέψον παμμάκαρ, καὶ πειρασμῶν τὸ κλυδώνιον κόπασον, καὶ καθοδήγησον ἡμᾶς, πρὸς λιμένα τοῦ θείου θελήματος.

Ἐπόμβρισον, τῇ ψυχῇ μου Ὅσιε, τῆς ἀφέσεως θεόθεν τὰ ῥεῖθρα, καὶ τῆς σαρκός μου ἐκπλύνας τὰς ῥύπους, κεκαθαρμένον με ὅλον ἀνάδειξον, ἵνα σωζόμενος ὑμνῶ, τὴν πολλήν πρὸς ἐμέ σου προμήθειαν.

Θεοτοκίον.
Παράδεισος, ζωηφόρος γέγονας, γεωργήσασα Ἁγνὴ ἀνηρότως, καθάπερ ἄνθος τερπνὸν καὶ εὐῶδες, τὸν διατρέφοντα πάντα χρηστότητι, καὶ τὴν ὀσμὴν τῆς Ἑαυτοῦ, ἐπιγνώσεως κόσμῳ δωρούμενον.

Διάσωσον, ἀπὸ κινδύνων τοὺς δούλους σου θεοφόρε, ὅτι πάντες τῇ ἀντιλήψει σου καταφεύγομεν· μὴ οὖν ἡμᾶς ἀποῤῥίψῃς, τῆς σῆς εὐνοίας.

Ἄχραντε, ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως, ἐπ’ ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον, ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

Αἴτησις καὶ τὸ Κοντάκιον.
Ἦχος β΄. Προστασία τῶν Χριστιανῶν.
Προστασία τῆς πρὸς ἡμᾶς σου τὸ μέγεθος, μὴ ἀποστήσῃς ἀφ’ ἡμῶν Ἀθανάσιε· σὺ γὰρ ὑπέρμαχος ἡμῶν καὶ ποιμὴν ἀληθινός· διὸ πρόφθασον ὡς συμπαθής, εἰς τὴν ταπείνωσιν ἡμῶν, καὶ τὸν τάραχον στόρεσον, θλίψεων κατῳδύνην, καὶ νόσων ἐπερχομένων, καὶ πρὸς εἰρήνην ἀληθῆ, χειραγώγησον τοὺς δούλους σου.

Προκείμενον.
Τίμιος ἐναντίον Κυρίου, ὁ θάνατος τοῦ Ὁσίου Αὐτοῦ.
Στ. Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.

Εὐαγγέλιον ἐκ τοῦ κατὰ Λουκᾶν (Κεφ. στ΄ 17-21).
Τῷ καιρῷ ἐκείνῳ, ἔστη ὁ Ἰησοῦς ἐπὶ τόπου πεδινοῦ· καὶ ὄχλος πολὺς μαθητῶν

αὐτοῦ καὶ πλῆθος πολὺ τοῦ λαοῦ ἀπὸ πάσης τῆς Ἰουδαίας καὶ Ἱερουσαλὴμ καὶ τῆς παραλίου Τύρου καὶ Σιδῶνος, οἳ ἦλθον ἀκοῦσαι αὐτοῦ καὶ ἰαθῆναι ἀπὸ τῶν νόσων αὐτῶν· καὶ οἱ ὀχλούμενοι ἀπὸ πνευμάτων ἀκαθάρτων καὶ ἐθεραπεύοντο. Καὶ πᾶς ὁ ὄχλος ἐζήτει ἅπτεσθαι αὐτοῦ, ὅτι δύναμις παρ’ αὐτοῦ ἐξήρχετο καὶ ἰᾶτο πάντας. Καὶ αὐτός, ἐπάρας τοὺς ὀφθαλμοὺς αὐτοῦ εἰς τοὺς μαθητὰς αὐτοῦ, ἔλεγεν· μακάριοι οἱ πτωχοί, ὅτι ὑμετέρα ἐστὶν ἡ Βασιλεία τοῦ Θεοῦ· μακάριοι οἱ πεινῶντες νῦν, ὅτι χορτασθήσεσθε· μακάριοι οἱ κλαίοντες νῦν, ὅτι γελάσετε· μακάριοί ἐστε, ὅταν μισήσωσιν ὑμᾶς οἱ ἄνθρωποι, καὶ ὅταν ἀφορίσωσιν ὑμᾶς, καὶ ὀνειδίσωσιν, καὶ ἐκβάλωσιν τὸ ὄνομα ὑμῶν ὡς πονηρόν, ἕνεκα τοῦ Υἱοῦ τοῦ ἀνθρώπου. Χαίρετε ἐν ἐκείνῃ τῇ ἡμέρᾳ καὶ σκιρτήσατε· ἰδοὺ γὰρ ὁ μισθὸς ὑμῶν πολὺς ἐν τῷ οὐρανῷ.

Δόξα.
Ταῖς τοῦ Σοῦ Ὁσίου πρεσβείαις Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

Καὶ νῦν.
Ταῖς τῆς Θεοτόκου πρεσβείαις Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

Στίχ. Ἐλέησόν με, ὁ Θεός...
Προσόμοιον.
Ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι.
Ἔχων τῆς χρηστότητος, τῆς θεϊκῆς ὑπὲρ λόγον, ὡς Χριστοῦ ἀκόλουθος, θησαυρὸν τὸν ἔνθεον, Ἀθανάσιε, εὐμενῶς πρόστηθι, καὶ εὐσπλάγχνως ἴδε, τὴν ἀσθένειαν τῶν δούλων σου, δι’ ἧς προσκρούομεν, πάντοτε τοῖς θείοις ἐντάλμασι, καὶ τῆς σαρκὸς τὸ θέλημα, γνώμῃ πονηρᾷ διανύομεν, καὶ σύγγνωθι Πάτερ, καὶ ἐξ ἀναισθησίας χαλεπῆς, πρὸς μετανοίας ἐγρήγορσιν, ἡμᾶς διαῤῥύθμισον.

Σώσον ο Θεός τον λαό σου...

Ὠδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.
Ἀθανάτου εὐκλείας καὶ τρυφῆς ἀνωλέθρου Πάτερ λαβόμενος, παγίδων ἐκ θανάτου, καὶ τῶν πυλῶν τοῦ ᾅδου, τοὺς βοῶντας ἐξάρπασον· ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Τῶν ἀΰλων χαρίτων φωτοφόρον δοχεῖον Πάτερ γενόμενος, χαρίτωσον τὰς φρένας, ἡμῶν καὶ τὰς καρδίας, καὶ συνέτισον ψάλλοντας· ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Ἐπομβρίας ἐνθέοις τῶν παθῶν μου τὴν κάμινον σβέσον Ὅσιε, καὶ φέγγει προθυμίας, τὸν ἐσβεσμένον λύχνον, τῆς ψυχῆς μου διάναψον, ἵνα φωτὸς τὴν ὁδόν, ὁδεύσω ἀπροσκόπτως.

Θεοτοκίον.
Ῥυπωθεὶς τῇ κακίᾳ τὴν εἰκόνα τοῦ Κτίστου φεῦ κατεμόλυνα. Σὺ οὖν Παρθενομῆτορ, τοῖς ῥυπτικοῖς Σου ῥείθροις, τῆς φαυλότητος πλῦνόν με, καὶ κοινωνὸν φωτισμού, δεῖξόν με ἀνεσπέρου.

Ὠδὴ η΄. Τὸν Βασιλέα.
Γενοῦ παμμάκαρ, καταφυγὴ ἐν ἀνάγκαις, καὶ βοήθεια ἐν θλίψεσι ποικίλαις, τοῖς ἀνευφημοῦσι, τοὺς ἱερούς σου πόνους.

Ἐκ πολυπλόκων, καὶ ψυχοφθόρων σκανδάλων, διατήρησον ἀλώβητον τὸν βίον, τῶν ὑμνολογούντων, τοὺς ἱερούς σου πόνους.

Ῥῶσιν σωμάτων, καὶ τῶν ψυχῶν ἀναβλύζει, ὁ πολύολβος καὶ ἱερός σου τάφος, καὶ ἐνθάπτει Πάτερ, παθῶν ἐπαναστάσεις.

Θεοτοκίον.
Ἀΰλου δόξης, φωτοειδέστατος οἶκος, ἀναδέδειξαι ὦ Κεχαριτωμένη· ὅθεν κἀμὲ ῥῦσαι, τῶν ὑλικῶν φροντίδων.

Ὠδὴ θ΄. Κυρίως Θεοτόκον.
Σταγόσι τῶν σῶν πόνων, ἄρδευσον πλουσίως, τὰς ψυχικὰς ἡμῶν αὔλακας Ὅσιε, ἵνα ζωὴν αἰωνίαν καρποφορήσωμεν.

Ἰάτρευσον παμμάκαρ, ἡμῶν τὰς διανοίας, τραυματισθείσας ἀπάτῃ τοῦ ὄφεως, καὶ πρὸς ἀνάβασιν θείαν ἡμᾶς ἱκάνωσον.

Μεγίστης εὐκληρίας, λαμπρῶς ἠξιωμένος, τῆς τῶν παθῶν δυστυχίας ἐκλύτρωσαι, τοὺς ἀδιστάκτῳ καρδίᾳ σὲ μεγαλύνοντας.

Οὐδόλως ἀνανεύων, τῆς σχέσεως τοῦ πλάνου, τὴν πατρικήν Σου αἰτοῦμαι βοήθειαν, τὴν πώρωσιν μου θεόφρον, λῦσον καὶ σῶσόν με.

Θεοτοκίον.
Ὑπέρτατον τὸν νοῦν μου, παθῶν αἰχμαλωσίας, τῇ κραταίᾳ Σου δυνάμει ἀνάδειξον, ἡ τῶν βροτῶν ἀνακαίνισις Παναμώμητε.

Ἄξιόν ἐστιν ὡς ἀληθῶς μακαρίζειν σε τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον καὶ μητέρα τοῦ Θεοῦ ἡμῶν. Τὴν τιμιωτέραν τῶν Χερουβὶμ καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφίμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον σὲ μεγαλύνομεν.

Καὶ τὰ παρόντα Μεγαλυνάρια,
Τὸν τῆς ἡσυχίας θεῖον πυρσόν, καὶ τὸν ἐν τῷ Ἄθῳ μοναζόντων καθηγητήν, τὸν τὰς πανουργίας, ἐχθροῦ νενικηκότα, ὑμνήσωμεν συμφώνως, νῦν Ἀθανάσιον.

Χαίροις μοναζόντων θεία κρηπίς, χαίροις τῶν Ὁσίων, τῶν τοῦ Ἄθω ἡ κορωνίς· χαίροις καὶ τῆς Λαύρας, ὁ κτήτωρ καὶ ὁ φύλαξ, καὶ πάντων ὁ προστάτης, ὦ Ἀθανάσιε.

Πάτερ Ἀθανάσιε πρεσβευτά, ἐπάκουσον πάντας, ὑπηκόους καὶ ὑμνητάς, σῶν θαυμάτων πλῆθος, καὶ πάντων παλαισμάτων, ὧν ᾖρας κατὰ πάντων, τῶν πολεμίων σου.

Ὤφθης τῶν Ὁσίων ὑφηγητής, καὶ τῶν ἐν τῷ Ἄθῳ, ποδηγέτης καὶ ἀπαρχή· ὅθεν σοι βοῶμεν· ὁδήγησον ὑψόθεν, πρὸς τρίβον σωτηρίας, ἡμᾶς μακάριε.

Χαίροις ἐγκρατείας σκεῦος λαμπρόν, καὶ ἡσυχαζόντων, ἀντιλήπτωρ καὶ βοηθός· χαίροις τῶν ποιμένων, ἡ θεία νομοστάθμη, καὶ τῶν σῶν τέκνων φύλαξ, καὶ καταφύγιον.

Χαίροις τῶν Ὁσίων ἡ καλλονή, καὶ τῶν ἐν τῷ Ἄθῳ, μοναζόντων ἡ κορωνίς· χαίροις τοῦ Σωτῆρος, θεράπων καὶ φίλος, ὁ τῆς ἀθανασίας, χαρᾶς ἐπώνυμος.

Χάριν κεκτημένος παρὰ Θεοῦ, δαίμονας διώκειν, καὶ ἰᾶσθαι πάθη δεινά, θεράπευσον Πάτερ, ἡμῶν τὰς ἀσθενείας, καὶ ῥῦσαι σοφισμάτων, τοῦ πολεμήτορος.

Ἔρωτι ἀΰλῳ καταυγασθείς, κόσμου τὴν ἀπάτην, καταλέλοιπας νουνεχῶς, καὶ δι’ ἀπαθείας, ὡς λύχνος ἀπαστράψας, ἡμᾶς καταφωτίζεις, ὦ Ἀθανάσιε.

Τῆς ἀθανασίας τὰς ἀστραπάς, παρὰ τοῦ Κυρίου, θεοφόρε ἀπολαβών, ψυχικοῦ θανάτου, καὶ πολυτρόπων νόσων, ἐκλύτρωσαι τοὺς πίστει, ὑμνολογοῦντάς σε.

Τοὺς τοῦ Ὄρους Ἄθω καθηγητάς, μοναστὰς μιγάδας, Ἱεράρχας καὶ Ἀθλητάς, Ὁμολογητάς τε, Ποιμένας καὶ Ὁσίους, τῶν μοναστῶν τὰ πλήθη, ὕμνοις τιμήσωμεν.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι Πάντες μετά τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν εἰς τό σωθῆναι ἡμᾶς.

Τὸ Τρισάγιον
Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς. (Τρίς).
Δόξα Πατρί, καί Υἱῷ, καί ἁγίῳ Πνεύματι,
καί νῦν, καί ἀεί, καί εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Παναγία Τριάς, ἐλέησον ἡμᾶς· Κύριε, ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν. Δέσποτα, συγχώρησον τάς ἀνομίας ἡμῖν· Ἅγιε, ἐπίσκεψαι καί ἴασαι τάς ἀσθενείας ἡμῶν, ἕνεκεν τοῦ ὀνόματός σου.

Κύριε, ἐλέησον· Κύριε, ἐλέησον· Κύριε, ἐλέησον.
Δόξα Πατρί...

Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τό ὄνομά σου· ἐλθέτω ἡ βασιλεία σου· γενηθήτω τό θέλημά σου, ὡς ἐν οὐρανῷ, καί ἐπί τῆς γῆς. Τόν ἄρτον ἡμῶν τόν ἐπιούσιον δός ἡμῖν σήμερον· καί ἄφες ἡμῖν τά ὀφειλήματα ἡμῶν, ὡς καί ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν· καί μή εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλά ῥῦσαι ἡμᾶς ἀπό τοῦ πονηροῦ.

Ὅτι σοῦ ἐστιν ἡ βασιλεία καί ἡ δύναμις καί ἡ δόξα τοῦ Πατρός καί τοῦ Υἱοῦ καί τοῦ Ἁγίου Πνεύματος, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων.

καί τά Τροπάρια ταῦτα. Ἦχος πλ. β΄.
Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς, πάσης γάρ ἀπολογίας ἀποροῦντες, ταύτην Σοι τήν ἱκεσίαν, ὡς Δεσπότῃ, οἱ ἁμαρτωλοί προσφέρομεν, ἐλέησον ἡμᾶς.

Δόξα.
Κύριε ἐλέησον ἡμᾶς, ἐπί Σοί γάρ πεποίθαμεν. Μή ὀργισθῇς ἡμῖν σφόδρα, μηδέ μνησθῇς τῶν ἀνομιῶν ἡμῶν. Ἀλλ᾽ ἐπίβλεψον καί νῦν ὡς εὔσπλαχνος καί λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν. Σύ γάρ εἶ Θεός ἡμῶν καί ἡμεῖς λαός Σου, πάντες ἔργα χειρῶν Σου καί τό ὄνομά Σου ἐπικεκλήμεθα.

Καί νῦν.
Τῆς εὐσπλαχνίας τήν πύλην ἄνοιξον ἡμῖν, εὐλογημένη Θεοτόκε, ἐλπίζοντες εἰς Σέ μή ἀστοχήσομεν, ῥυσθείημεν διά Σοῦ τῶν περιστάσεων· Σύ γάρ ἡ σωτηρία τοῦ γένους τῶν Χριστιανῶν.

Ἐκτενὴς καὶ Ἀπόλυσις, μεθ᾽ ἣν ψάλλομεν τα ἑξῆς·

Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου.
Πάντων, ἀντιλήπτωρ καὶ φρουρός, καὶ καταφυγὴ καὶ προστάτης, καὶ θεῖος ἔφορος, πέλεις Ἀθανάσιε, τῶν ἀφορώντων σοι· διὰ τοῦτο βοῶμέν σοι· ἐκ πάσης ἀνάγκης, καὶ παθῶν καὶ θλίψεων καὶ περιστάσεων, ῥύου τοὺς πιστῶς σε τιμῶντας, καὶ ἁμαρτημάτων κηλῖδος, κάθαρον ἡμᾶς ταῖς ἱκεσίαις σου.

Δέσποινα πρόσδεξαι, τὰς δεήσεις τῶν δούλων Σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Τὴν πᾶσαν ἐλπίδα μου, εἰς Σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην Σου.

Δι᾽ εὐχῶν τῶν Ἁγίων Πατέρων ἡμῶν.
Κύριε Ἰησοῦ Χριστέ ὁ Θεός ἡμῶν ἐλέησον ἡμᾶς.
᾽Ἀμήν.